στείλας δὲ ὁ ἡγεμὼν ἤγαγεν αὐτοὺς ἐπὶ τὸ βήματος καὶ λέγει πρὸς τὸν ἅγιον Ὑπάτιον· « ἔγνως ἄρτι πῶς οἱ θεοὶ σπλαγχνισθέντες ἀνέστησάν σε ἀπὸ τῶν νεκρῶν· ἄρτι προσκύνησον αὐτοὺς καὶ λήψεις παρ' ἐμοῦ χρήματα καὶ τιμὰς πολλὰς καὶ πρῶτον ἱερέα εἰς τοὺς μεγίστους θεοὺς ποιήσω σε ». Ὁ ἅγιος Ὑπάτιος λέγει πρὸς τὸν ἡγεμόνα· « πολλὰ αὐτοὺς παρώξυνα καὶ φοβοῦμαι μήπως με οὐ δέξωνται » (1). Λέγει πρὸς αὐτὸν ὁ ἡγεμὼν· « ἐρχόμεθα καὶ ἡμεῖς μετά σου καὶ ποιήσομεν δοχὴν μεγάλην σήμερον ». Ἀπελθόντων δὲ αὐτῶν εἰς τὸν ναὸν τῶν εἰδώλων λέγει ὁ ἅγιος πρὸς τὸν ἡγεμόνα καὶ τοὺς σὺν αὐτῷ· « εἰσέλθετε πρῶτον ὑμεῖς καὶ εὔξασθε ». Εἰσελθόντων δὲ αὐτῶν ἔσω τοῦ ναοῦ λέγει πρὸς αὐτὸν ὁ ἅγιος Ὑπάτιος· « ἡγεμών, ποίῳ θεῷ θέλεις ἵνα θύσω; ». Λέγει αὐτῷ· « τοῖς ἑπτά ». Ἐν ᾗ ἐκτείνας τὴν χεῖρα αὐτοῦ τὴν δεξιὰν καὶ ποιήσας τὴν ἐν Χριστῷ σφραγῖδα λέγει· « Ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ συντριβήτωσαν τὰ εἴδωλα. Καὶ ὁ ναὸς αὐτῶν ἀφανισθήτω ἀπὸ τῶν θεμελίων ». Καὶ εὐθέως συνετρίβησαν (2) ἅπαντα καὶ ὁ ναὸς συνέπεσεν καὶ ἀπέκτεινε τὸν ἡγεμόνα καὶ πεντακοσίους μετ' αὐτοῦ. Ὁ δὲ μακάριος Ὑπάτιος ὑπελείφθη μόνος.

19. Ἀκούσας δὲ ταῦτα Βαρλαὰς (3) ὁ τῆς Ἀντιοχείας ἡγεμὼν πέμψας στρατιώτας ἐνενήκοντα λέγει πρὸς αὐτούς· « ἀγάγετέ μοι αὐτὸν δεδεμένον ἀλύσεσι » κτλ.

21. Ἀκούσας δὲ ὁ βασιλεὺς τῶν Σκυθῶν Χωβὰρ (4) ἀποστείλας ἤγαγεν αὐτὸν καὶ λέγει πρὸς αὐτόν· « ἄκουσόν μου, γῆρας τίμιον, καλῶς σοι συμβουλεύοντος (5) καὶ θῦσον τοῖς θεοῖς ». Ὁ δὲ ἅγιος Ὑπάτιος λέγει πρὸς αὐτόν· « ἄφρον καὶ ἀπάνθρωπε ἀσεβὴς καὶ παράνομε, κύον βρωμερὲ καὶ πάσης ἀληθείας ἀπηλλοτριωμένε, ἀνάθημα ἔστω σοι μετὰ τοὺς θεούς σου καὶ πᾶσι τοῖς σεβομένοις αὐτούς ». Θυμοῦ δὲ πλησθεὶς ὁ βασιλεὺς ἐκέλευσε σταυρωθῆναι αὐτὸν καὶ ἥλους ἐμπαγῆναι τὰς χεῖρας καὶ τοὺς πόδας αὐτοῦ καὶ χειράγρας (6) ξέεσθαι αὐτοῦ τὸ σῶμα ἕως οὗ φανῶσι τὰ ἐντὸς αὐτοῦ. Καὶ ἐποίησαν καθὼς προσετάχθησαν. Αἱ δὲ χεῖρες αὐτῶν ἐκρατοῦντο (7) καὶ αἱ χείραγραι (8) ἠλαττονοῦντο. Ἰδὼν δὲ ὁ βασιλεὺς ὅτι οὐκ ἥψαντο αὐτοῦ αἱ χείραγραι ἐκέλευσεν νεανίσκους κατατοξεύειν αὐτὸν καὶ λιθάζειν. Ἀνατείνας δὲ τὸ ὄμμα αὐτοῦ εἰς τὸν οὐρανὸν εἶπεν προσευχόμενος· « εὐχαριστῶ σοι, Κύριε, ὅτι ἠξίωσάς με σταυρωθῆναι καὶ πολλὰ παθεῖν διὰ τὸ ὄνομά σου· αὐτὸς καὶ νῦν ἐνίσχυσόν μοι μέχρι τέλους ». Ἀπὸ δὲ τοῦ πλήθους [243] τῶν λίθων καὶ τοῦ τοξευμοῦ (9) ἔχωσαν αὐτόν. Τῇ δὲ νυκτὶ ἐκείνῃ κατελθὼν ὁ Σωτὴρ ἔλυσεν αὐτὸν ἀπὸ τοῦ σταυροῦ καὶ ἀσπασάμενος αὐτὸν ὑπεχώρησεν. Ἀνα-

(1) δέξονται *C V*.

(2) ἐγένοντο (sic) ὡσεὶ κονιορτός, ἐσχίσθη δὲ ὁ ναὸς εἰς τέσσαρα μέρη καὶ ἐσκότωσεν πάντας· ἀκούσας δὲ ταῦτα ὁ β. χαλδείας *R.*[1]

(3) βαρλαὰς *C* — βαρλαὸς *V* — βαρλαὰμ *R.*[2]

(4) χοβοὰ *N* — τὸ ὄνομα τοῦ χάβαρ *R*[2] — deest nomen *R.*[1]

(5) συμβουλεύοντι *codd.*

(6) χείραγρες *C.* Postulavi ego pro κρέαγραι.

(7) ἐκράτ. καὶ τὰ βασανιστήρια ἅπαντα ἄπρακτα ἔμενον. θυμωθεὶς δὲ ὁ βασιλεὺς εἶπεν· « κατατοξεύσατε κτλ. *R.*[1]

(8) χειράγλαι *N.*

(9) ἀπὸ τοξευμοῦ *R*[1] — τοξευμοῦ *codd.*